# OLIMPIADA DE LIMBI CLASICE: GREACĂ VECHE, LATINĂ
**Etapa județeană/a sectoarelor municipiului București – 22 martie 2024**

## LIMBA GREACĂ VECHE
**Clasa a XII-a**

**Subiectul I** **50 de puncte**
**Traduceți în limba română. Atenție la indicații!**

„Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν καὶ ἄλλους ταὐτὰ ταῦτα διδάσκων.” Τοιαύτη τίς ἐστιν· ταῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτη τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν πέρι ἐπαΐω. Καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστιν [...] (Platon, *Apologia*, 19 b-c)

Indicații:
*ταὐτὰ* – *τὰ αὐτὰ*,
*ἑωρᾶτε* – de la *ὁράω*,
*πέρι*+Ac – utilizat ca postpoziție pentru *οὐδὲν*.

**Subiectul II** **40 de puncte**
Redactați, în 150-300 de cuvinte, un eseu despre educația în Atena clasică, pornind de la textul de mai jos și concentrându-vă asupra următoarelor aspecte:
- analiza argumentației lui Socrate despre modul de alegere a unui profesor;
- încadrarea lui Euenos într-o categorie de profesori greci și relevarea asemănărilor și deosebirilor dintre aceștia și Socrate;
- identificarea a cel puțin cinci cuvinte cheie din textul grecesc;
- identificarea și comentarea a două figuri de stil relevante pentru argumentația din text.

Ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφὸς ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ ὃς τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ σύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου· τοῦτον οὖν ἀνηρόμην - ἐστὸν γὰρ αὐτῷ δύο ὑεῖ - „ὦ Καλλία,” ἦν δ᾽ ἐγώ, „εἰ μέν σου τὼ ὑεῖ πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ μισθώσασθαι ὃς [20 b] ἔμελλεν αὐτὼ καλώ τε κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν, ἦν δ᾽ ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ᾽ ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι διὰ τὴν τῶν ὑέων κτῆσιν. Ἔστιν τις,” ἔφην ἐγώ, „ἢ οὔ;” „πάνυ γε,” ἦ δ᾽ ὅς. „τίς,’” ἦν δ᾽ ἐγώ, „καὶ ποδαπός, καὶ πόσου διδάσκει;” „Εὔηνος,” ἔφη, „ὦ Σώκρατες, Πάριος, πέντε μνῶν.” Καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα εἰ ὡς ἀληθῶς [20 c] ἔχοι ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς διδάσκει. ἐγὼ γοῦν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἂν εἰ ἠπιστάμην ταῦτα· ἀλλ᾽ οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.
(Platon, *Apologia*, 20 a-c)

Uite, am aflat că este aici la noi încă unul din acești învățați, un om din Paros. Tocmai mă dusesem la Callias al lui Hipponicos, care le-a plătit sofiștilor mai mulți bani decât oricare altul. Și l-am întrebat (știind că are doi fii):

- Callias, zic, dacă ai fi avut nu doi fii, ci doi mânji sau doi viței, ar trebui să le tocmim un supraveghetor care să desăvârșească în ei toate însușirile lor firești; ar fi vorba de un om priceput la cai sau la muncile câmpului; de vreme ce ei sunt însă oameni, ce fel de îndrumător ai de gând să le iei? Când e vorba de aceste însușiri, de însușirile omenești și cetățenești, cine e omul priceput? Cred că, având feciori, ai chibzuit la asta. Există un astfel de om sau nu?
- Cum să nu, spuse el.
- Cine e, de unde este, și cât cere pentru învățătura lui?
- Euenos din Paros, Socrate, mi-a răspuns. Cere cinci mine.

Și eu l-am fericit pe Euenos dacă are într-adevăr priceperea aceasta și dă învățătură cu atâta cumpătare. Eu, să fiu în stare de astfel de lucruri, nu mi-aş mai încăpea în piele de mândru. Numai că, cetățeni ai Atenei, nu sunt în stare.
(traducere de Francisca Băltăceanu)

*Nota bene!* Toate subiectele sunt obligatorii. Timpul de lucru efectiv este de 3 (trei) ore. Se acordă 10 puncte din oficiu.
Concurenții pot folosi dicționarul grec - român (sau grec - o limbă modernă).